# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΣΩΤΗΡΑ ΤΕ ΚΑΙ ΘΕΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ



## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΣΩΤΗΡΑ ΤΕ ΚΑΙ ΘΕΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν.

*Εὐλογήσαντος τοῦ ἱερέως λέγομεν τὸν παρόντα ψαλμόν.*

Ψαλμὸς ρμβ΄ (142).

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισε μὲ ἐν σκοτεινοὶς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου· ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοὶς ἔργοις σου, ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τᾶς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχὺ εἰσάκουσόν μου, Κύριε ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοὶς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησον μοὶ τὸ πρωὶ τὸ ἔλεός σου ὅτι ἐπὶ σοῖ ἤλπισα. Γνώρισον μοὶ κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοὺ μὲ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξον μὲ τοῦ ποιεὶν τὸ θέλημά σου ὅτι σὺ εἰ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει μὲ ἐν γῆ εὐθεία. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

*Καὶ εὐθὺς τὸ Θεὸς Κύριος, μετὰ τῶν στίχων αὐτοῦ ἐξ ἑκάτερων τῶν χορῶν.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ, ἀ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσαν μέ, καὶ τῷ ὀνόματι Κυρίου ἠμυναμην αὐτούς,*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοὶς ἡμῶν.*

*Εἶτα τὰ παρόντα τροπάρια.*

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὢ Ἰησοῦ μου πολυέλεε Σῶτερ, ἐκδυσωπῶ σὲ ταπεινῶς, Ἰησοῦ μου, τῶν ἐγκλημάτων ῥύσαι μὲ καὶ κάθαρον, ψυχήν μου τὴν τάλαιναν, μολυσμῶν οὖσαν πλήρη, καὶ σῶσον Πολυεύσπλαγχνε, τοῦ πυρός της Γεένης, ἵνα θαρρούντως, Σῶτερ Ἰησοῦ, δοξολογῶ σὲ δοξάζων σωζόμενος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀπολυτίκιον τοῦ Ἁγίου του Ναοῦ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων, ἀμὴν.

Οὐ σιωπήσωμεν πότε, Θεοτόκε, τᾶς δυναστείας σου λαλεὶν οἱ ἀνάξιοι (εἰ μὴ γὰρ σὺ προϊστασο πρεσβεύουσα, τὶς ἠμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἔκ σού, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ψαλμὸς ν΄ (50).

Ἐλέησον μὲ ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον μὲ ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισον μέ. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός σοὶ μόνω ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοὶς λόγοις σου καὶ νικήσης ἐν τῷ κρίνεσθαι σέ. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησεν μὲ ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια της σοφίας σου ἐδήλωσας μοί. Ραντιεῖς μὲ ὑσσώπω, καὶ καθαρισθήσομαι, πλυνεῖς μέ, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοὶ ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τᾶς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοὶς ἐγκάτοις μου. Μὴ ἀπορρίψης μὲ ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ Ἅγιον μὴ ἀντανέλης ἀπ’ ἐμοῦ. Ἀπόδος μοὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τᾶς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Ρύσαι μὲ ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅ,τι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλημ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Καὶ ἀρχόμεθα τοῦ κανόνος.*

## Ὠδὴ ἀ΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμὸς.

Ὑγρᾶν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγῶν, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἠμῶν ἄσωμεν.

Δόξα Σοὶ ὁ Θεὸς ἠμῶν δόξα Σοί.

Ἰησοῦ γλυκύτατε τῆς ἐμῆς, ψυχῆς τῆς δυστήνου σὺ θεράπευσον, Ἰησοῦ, τραύματα δεινά, καὶ ἁμαρτίας, ὢ Ἰησοῦ, τού σου δούλου ἐξάλειψον.

Δόξα Σοὶ ὁ Θεὸς ἠμῶν δόξα Σοί.

Ἤθελον, γλυκύτατε Ἰησοῦ, κρουνοὶς τῶν δακρύων πλημμελήματα τὰ ἐμᾶ, ἐκπλύναι, Χριστέ, ἀλλ’ ἀπατὰ μὲ ὁ πονηρός, οὗ τῶν δόλων μὲ λυτρῶσαι.

Δόξα...

Σὺ Σῶτερ τοῦ σύμπαντος, Ἰησοῦ, ρύσαι τὸν σὸν δοῦλον ἐκ παγίδων τοῦ πονηροῦ, καὶ ποίησον μέτοχόν της δόξης, τῆς Οὐρανίου, Χριστέ μου γλυκύτατε.

Καὶ νῦν...

Ὅλη, Κόρη, οὖσα ὅλη καλῆ, ὅλη φαεσφόρος, Θεοφόρος τὲ καὶ λαμπρά, λάμπρυνον τὰ ὄμματα ψυχῆς μου, καὶ φωτοφόρον μὲ ὅλον ἀπεργᾶσαι.

Ὠδὴ γ΄. Ὁ Εἱρμὸς.

Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοὶ Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σὲ τὸ πνεῦμά μου.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Ὑπόδεξαι δέομαι, ὦ Ἰησοῦ μου, τὸν δοῦλον σου, καὶ σῶσον μὲ νῦν παθῶν καὶ κινδύνων, καὶ γεέννης ἁπάλλαξον.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Νῦν σῶσον τὸν δοῦλον σου, ὦ Ἰησοῦ μου γλυκύτατε, καὶ τῆς σκληρᾶς καταδίκης ρύσαι, τῆς ἐν κρίσει, Φιλάνθρωπε.

Δόξα...

Χριστέ μου τὸν δοῦλον σου, ἐν κατανύξει βοώντα σοῖ, νόσων δεινῶν καὶ θλίψεως πάσης, Ἰησοῦ μου, διάσωσον.

Καὶ νῦν....

Ρύσαι μὲ τὸν ἄσωτον, μόνη Πανάχραντε, δέομαι, σαὶς μητρικαὶς πρεσβείαις, κινδύνων καὶ παντοίων κακώσεων.

Διάσωσον, ἀπὸ κινδύνων, γλυκύτατε Ἰησοῦ μου, τοὺς ὑπὸ τὴν Θείαν σκέπην Σου καταφεύγοντας, καὶ δώρησαι ἁμαρτιῶν τὴν συγγνώμην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπήν του σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ἱερεὺς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεινός) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμη, πόλη) ταύτη, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδορομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν.

*Μετὰ δὲ τὴν ἐκφώνησιν, τὸ ἑπόμενον.*

Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμεν σοί, Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ΄. Ὁ Εἱρμὸς.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεόητα.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Ἰησοῦ μου γλυκύτατε, πάθη τὰ δεινά μου θεράπευσον, καὶ τοῦ δράκοντος ἐξάρπασον τῶν χειρῶν, Χριστέ μου, τὸν οἰκέτην σου.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Σὺ Φιλάνθρωπε Κύριε, τῆς ἀπεγνωσμένης ψυχῆς μου πέφυκας, Ἰησοῦ μου ἀπολύτρωσις, διὸ πάσης θλίψεως μὲ λύτρωσαι.

Δόξα...

Τὸν καιρὸν ὃν μοὶ δέδωκας, Σῶτερ Ἰησοῦ μου, κατεδαπάνησα, εἰς παράνομα, καὶ δέομαι, ὡς Σωτὴρ τοῦ κόσμου ἀνακάλεσαι.

Καὶ νῦν...

Ὀλοφύρομαι , Πάναγνε, φέρων κατὰ νοῦν τὰ πολλά μου πταίσματα, διὸ δώρησαι μοὶ ἄφεσιν, δέομαί σου, Κόρη, ταὶς πρεσβεῖες σου.

Ὠδὴ ἐ΄. Ὁ Εἱρμὸς.

Φώτισον ἡμᾶς, τοὶς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμίν, φιλάνθρωπε.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Νῦν ὁλοσχερῶς, Ἰησοῦ μου τὸν πανάθλιον, κατατυραννούσι μὲ πάθη δεινά, διὸ κραυγάζω, Ἰησοῦ μου, σὺ διάσωσον.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Τῶν ἀσθενειῶν, Ἰησοῦ μου, σὺ ἀπάλλαξον, τὸν ἐν τῇ σκέπῃ σου προστρέχοντα, ὦ Ἰησοῦ μου, καὶ κινδύνων ἐλευθέρωσον.

Δόξα...

Οὐχ ἥμαρτε ποτέ, Ἰησοῦ μου, ἄλλος, εὔσπλαγχνε, ὡς ἐγώ, Χριστέ μου, ὁ ἄθλιος, διὸ σὺ σῶσον καὶ κολάσεως ἐξάρπασον.

Καὶ νῦν...

Νῦν Ναοὺς Θεοῦ, τοῦ ἐν σοῖ Λόγου σκηνώσαντος, δεῖξον εὐσπλάγχως, ὦ Παρθένε Ἁγνή, τοὺς τὴ θερμὴ ἐγκαυχωμένους προστασία Σου.

Ὠδὴ ς΄. Ὁ Εἱρμὸς.

Ἱλάσθητι μοὶ Σωτήρ, πολλαὶ γὰρ αἳ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι, πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Θεράπευσον, Ἰησοῦ ψυχῆς τὰ ὄμματα δέομαι, τυφλώττοντα τοῦ οἴκτρου, Θεέ μου, καὶ φώτισον θεία σου λαμπρότητι, ἵνα ἀνυμνῶ σέ, Ἰησοῦ μου πολυέλεε.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Ἐλέησον μέ, Σῶτερ, τὸν ἄσωτον καὶ ταλαίπωρον, γλυκύτατε Ἰησοῦ, καὶ ῥύσαι κακώσεως καὶ νόσων τὸν δοῦλον, σοὺ καὶ τῶν τοῦ Βελίαρ τεχνασμάτων μὲ ἀπάλλαξον.

Δόξα...

Ὁ πάθεσι χαλεποίς, ἐγκυλινδούμενος πάντοτε, γλυκύτατε Ἰησοῦ, πρὸς σὲ καταφεύγων νῦν, ζητῶ τὴν ἀνάρρωσιν. Σὺ δέ, Ἰησοῦ, ὡς Σωτὴρ αὐτὴν μοὶ δώρησαι.

Καὶ νῦν...

Νεκρὰν ἀπεργᾶσαι νῦν, ἔτι ζῶσαν, Πανάσπιλε, κακίαν μου, καὶ ψυχῆς τὴν νέκρωσιν ζώωσον, ὡς ζωῆς γεννήσασα, χορηγὸν τὸν θεῖον, ἵνα πόθω μεγαλύνω σέ.

Διάσωσον, ἀπὸ κινδύνων, γλυκύτατε Ἰησοῦ μου, τοὺς ὑπὸ τὴν Θείαν σκέπην Σου καταφεύγοντας, καὶ δώρησαι ἁμαρτιῶν τὴν συγγνώμην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ἱερεὺς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεινός) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώνη, πόλη) ταύτη, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφειρωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν.

*Μετὰ δὲ τὴν ἐκφώνησιν.*

Κοντάκιον. Ἦχος β΄.

Γλυκύτατε Ἰησοῦ, ὁ τὸν Ἄσωτον σώσας, καὶ τὴν Πόρνην προσδεξάμενος, Ἰησοῦ μου καὶ τὴν Αἱμόρρουν ἁφὴ ἰασάμενος, καμέ, Ἰησοῦ μου, γλυκύτατε, τὸν ἄσωτον, οἴκτειρον καὶ ρύσαι ἐκ πάντων τῶν βιωτικῶν πειρατηρίων καὶ θλίψεων, καὶ σῶσον, εὐεργέτα Ἰησοῦ, ὡς φιλάνθρωπος.

*Εἶτα τὸ α΄ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.*

Ἀ΄ Ἀντίφωνον. Ἦχος δ΄.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ μὲ πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβού, καὶ σῶσον, Σωτήρ μου. (δίς).

Οἱ μισοῦντες Σιῶν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς).

Δόξα...

Ἁγίω Πνεύματι, πάσα ψυχῆ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τὴ Τριαδικὴ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίω Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ρεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

*Καὶ εὐθὺς τὸ προκείμενον.*

Ἐσημειώθη ἐφ'ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμίν.

Τὸ φῶς τοῦ προσώπου σου, Κύριε, ἐσημειώθη ἐφ'ἡμᾶς.

Ἱερεὺς: Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Χορὸς: Κύριε, ἐλέησον (γ΄).

Ἱερεὺς: Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ἱερεὺς: Εἰρήνη πάσι.

Χορὸς: Καὶ τῷ Πνεύματί σου.

Ἱερεὺς: Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ἱερεὺς: Πρόσχωμεν.

Χορὸς: Δόξα σοί, Κύριε, δόξα σοί.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (κέφ. Θ΄ 51-57 καὶ Ἰ΄ 22-24).

Τῷ καιρῷ ἐκείνω ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τᾶς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξεν τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν ὥστε ἑτοιμᾶσαι αὐτῶ. Καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ προσῶπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης, εἶπον. Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτούς, ὡς καὶ Ἠλίας ἐποιησε; Στραφεῖς δέ, ἐπετίμησεν αὐτοίς, καὶ εἶπεν. Οὐκ οἴδατε οἵου πνεύματος ἔστε ὑμεῖς, ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχᾶς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ ἔλεγε τοὶς ἀκολουθούσιν αὐτῶ. Πάντα μοὶ παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς γινώσκει τὶς ἐστιν ὁ Υἱός, εἰ μὴ ὁ Πατὴρ καὶ τὶς ἐστιν ὁ Πατήρ, εἰ μὴ ὁ Υἱός, καὶ ὧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Καὶ στραφεῖς πρὸς τοὺς Μαθητᾶς κατ' ἰδὶαν εἶπε. Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε, λέγω γὰρ ὑμὶν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεὶν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

Χορὸς: Δόξα σοί, Κύριε, δόξα σοί.

Δόξα... Ἦχος β΄.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταὶς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησον μέ, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, τῶν Ὀρθοδόξων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, Ἰησοῦ μου, σῶσον μὲ τὸν οἰκέτην σου, Ἰησοῦ, ρύσαι μὲ ἀσθενείας πάσης, Ἰησοῦ μου ὡραιότατε, τὸν προσιόντα σοί, καὶ πρὸς σέ, Σωτὴρ καταφεύγοντα, καὶ μόνος ὡς φιλάνθρωπος, τῆς χειρὸς τοῦ δράκοντος μὲ ἐξάρπασον, παθῶν καὶ κινδύνων, Σωτήρ μου Ἰησοῦ ἐλευθερῶν, καὶ τοὶς θεσμοίς σου προσέχειν μέ, Ἰησοῦ, Ἀξίωσον.

Ἕτερα Θεοτοκία.

Οὐδεὶς προστρέχων ἐπὶ σοῖ, κατησχυμένος ἀπό σου ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ’ αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγῆ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῶζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ἱερεὺς: Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου: ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰτιρμοίς: ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια: πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας: δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας: Νικολάου τοῦ ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου τῆς Πενταπόλεως, τῶν θαυματουργῶν. τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, καὶ Θεοδώρου τοῦ Στρατηλάτου καὶ Μηνᾶ τοῦ θαυμαρτουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου: τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς Φωτηνῆς, Μαρίνης: Παρασκευῆς καὶ Εἰρήνης: τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (ἡμέρας), καὶ πάντων σου τῶν Ἁγίων. ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.
Χορὸς: Κύριε, ἐλέησον. (Ἰβ΄).

Ἱερεὺς: Ἐλέει, καὶ οἰκτιρμοίς, καὶ φιλανθρωπία τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ’οὐ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῶ καὶ ζωοποίω σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων.

Χορὸς: Ἀμήν.

*Ἀποπληροῦμεν τᾶς λοιπᾶς ᾠδᾶς τοῦ κανόνος*

Ὠδὴ ζ΄. Ὁ Εἱρμὸς.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλον βοῶντες. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Σῶτερ τοῦ Κόσμου, Ἰησοῦ μου, τὸν ἀναίσθητον καὶ ἄσωτον, οἰκτίρμον, κατοικτείρησον νῦν καὶ λύτρωσαι γεέννης, ὅπως ἀεὶ δοξάζω σέ, ὡς Σωτῆρα, Ἰησοῦ μου.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Ἔχων μυρίας ἁμαρτίας, οὖ τολμῶ Ἰησοῦ μου, ἀναβλέψαι, καὶ ἰδεὶν Οὐρανοῦ τὸ ὕψος ἐκ τοῦ φόβου, διὸ βοῶ διάσωσον τὸν οἶκτρον, ὦ Ἰησοῦ μου.

Δόξα...

Βέβηλον νοῦν, ὦ Ἰησοῦ μου, περιφέρων, θερμῶς ἀναβοῶ σοί, τῆς ψυχῆς μου, Χριστέ, τοὺς μώλωπας καθαρᾶς, ἐκ τοῦ βυθοῦ μὲ λύτρωσαι τῆς κακίας, Ἰησοῦ μου.

Καὶ νῦν...

Ὢ Παναγία Θεοτόκε, Ἰησοῦν τὸν γλυκύτατον τεκοῦσα, τοὺς ὑμνοῦντας σὲ νῦν, περίσωζε λιταίς σου, ἐκ πάσης περιστάσεως, καὶ κινδύνων ἀδοκήτων.

Ὠδὴ ἡ΄. Ὁ Εἱρμὸς

Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνούσι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τους αἰῶνας.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί..

Σὲ Ἰησοῦ μου, ἐκδυσωπῶ, ὡς τὴν Πόρνην, σὺ ἀπήλλαξας πολλῶν ἐγκλημάτων, οὕτως, Ἰησοῦ μου, κάθαρον τὴν ψυχήν μου.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Ἐν ψυχοφθόροις περιπεσῶν, Ἰησοῦ μου, ἀτοπίαις πρὸς σὲ καταφεύγω, ἔγειρον μὲ σῶσον, γλυκύτατε Θεέ μου.

Δόξα...

Ρύσαι, ὦ Σῶτερ τὴ τοῦ Σταυροῦ σου δυνάμει, τὸν προστρέχοντα πρὸς σὲ τὸν Θεὸν Λόγον, καὶ ἀλόγων πάντων παθῶν ἀπάλλαξον μέ.

Καὶ νῦν...

Ἄχραντε Κόρη, λύσον δεσμὸν τῶν κακῶν μου, τὴ στοργὴ μὲ συνδέουσα τοῦ Λόγου, τοῦ ἔκ σοῦ τεχθέντος καὶ σῶσον μὲ λιταίς σου.

Ὠδὴ θ΄. Ὁ Εἱρμὸς

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διά σου σεσωσμένοι, Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις, σὲ μεγαλύνοντες.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Φιλάνθρωπε, τὸν δοῦλον, τὸν ὑπερβεβηκότα, ταὶς ἀτοπίαις Τελώνην καὶ Ἄσωτον, σὺ ὡς Θεός, Ἰησοῦ μου οἰκτίρμον, σὺ σῶσον μέ.

Δόξα Σοὶ ὁ Θεὸς ἡμῶν δόξα Σοί.

Εὐωνύμου μοίρας, γλυκύτατέ μου Σῶτερ, τὸν σὸν οἰκέτην ἀπάλλαξον δέομαι, καὶ τὴν σὴν ἄφραστον δόξαν ἰδεὶν ἀξίωσον.

Δόξα...

Ἰησοῦ Σωτήρ μου, πάσης ἐπηρείας δαιμονικῆς τὸν σὸν δοῦλον διάσωσον, καὶ ἐκ παθῶν καὶ κινδύνων μὲ ἐλευθέρωσον.

Καὶ νῦν...

Μεμολυσμένον ὄντα τὸν νοῦν μου, Παρθένε, ταῖς ἁμαρτίαις, σὺ μόνη Ἀμόλυντε, ἐκλιπαρῶ, ἀποκάθαρον, νῦν ταῖς πρεσβείαις σου.

*Καὶ εὐθὺς τό:*

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

*Καὶ θυμιὰ ὁ ἱερεὺς τὸ θυσιαστήριον καὶ τὸν ναόν, ἢ τὸν οἶκον, ὅπου ψάλλεται ἡ Παράκλησις, καὶ ὁ χορὸς ψάλλει τὰ παρόντα Μεγαλυνάρια.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἰησοῦ γλυκύτατε Ἰησοῦ, Ἰησοῦ Σωτήρ μου, τῆς ψυχῆς μου τᾶς χαλεπᾶς, ἰάτρευσον νόσους, Θεέ μου, Ἰησοῦ μου, καὶ σῶσον Ἰησοῦ μου τὸν σοὶ προστρέχοντα.

Δέομαι γλυκύτατε Ἰησοῦ, δέξαι τὸν σὸν δοῦλον, ὑπεράγαθε Ἰησοῦ, σῶσον, μὴ παρίδης τὸν ἄσωτον, Θεέ μου, οἰκτίρμον Ἰησοῦ μου εὔσπλαγχνε Κύριε.

Τοὺς τετειχισμένους τῷ σῷ Σταυρῷ, καὶ ἐγκαυχωμένους τοὶς σοὶς Πάθεσιν, Ἰησοῦ, στήριξον ἐν πέτρᾳ, Χριστέ, τῶν ἐντολῶν σου, καὶ σῶσον μου, ὡς ὑπεράγαθος.

Σὺ εἶ, Ἰησοῦ μου, ὁ φωτισμός, τῆς οἰκτρᾶς ψυχῆς μου, φῶς τοῦ Κόσμου, ὦ Ἰησοῦ, σὺ λάμπρυνον ταύτην, τῷ θεαυγεῖ φωτί σου, καὶ ῥύσαι αἰωνίου Χριστὲ κολάσεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταὶς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τᾶς ἀνομίας ἡμίν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τᾶς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοὶς οὐρανοίς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμὶν σήμερον, καὶ ἄφες ἡμὶν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοὶς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥύσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεὺς: Ὅτι σου ἐστιν ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος β΄.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν, Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ Θεός, βουλήσει γὰρ ηὐδόκησας, σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ρύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὅθεν εὐχαρίστως βοῶμεν σοί, Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

### Ἢ τὸ παρόν. Ἦχος β΄.

Ἑλκόμενον σέ, Κύριε, πρὸς τὸ πάθος τοῦ σταυροῦ, ὁρῶντες προσκυνοῦμεν σου τὴν ἄχραντον μορφήν, Χριστὲ ὁ Θεὸς ἡμῶν. Βουλήσει γὰρ ηὐδόκησας σαρκὶ παθεῖν ὑπὲρ ἡμῶν, ἵνα σώσῃς τὸν κόσμον σου ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Δόξα, τὴ εὐσπλαγχνία σου Σωτήρ, δόξα, Πανάγαθε, τὴ μακροθυμία δυό, δόξα παμβασιεύ, τὴ συγκαταβάσει σου.

### Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοὶ τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλεῆσον ἡμᾶς.

Δόξα...

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοῖ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμὶν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, σὺ γὰρ εἰ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμίν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ρυσθείημεν διά σου τῶν περιστάσεων, σὺ γὰρ εἰ ἡ σωτρηρία τοῦ γένους τῶν χριστιανῶν.

### Ἱερεὺς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, (δεινός) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλῃ ταύτῃ, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδᾶσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ρύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλέησαι ἡμᾶς. Κύριε ἐλέησον (γ΄).

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλέησαι ἡμᾶς. Κύριε ἐλέησον (γ΄).

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοὺ ἡμίν, Δέσποτα ἐπὶ ταὶς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Κύριε ἐλέησον (γ΄).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν΄.

Δόξα σοὶ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοί.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταὶς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τῆς ἡμέρας) καὶ πάντων τὸν Ἁγίων, ἐλέησαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

*Μετ᾽ αὐτὴν δέ, ἐνόσω οἱ ἀδελφοὶ ἀσπάζονται τὴν εἰκόνα τῆς Θεοτόκου, ψάλλονται τὰ παρόντα τροπάρια.*

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Σῶσαι τὸ σὸν πλάσμα βουληθεῖς, τῆς Οἰκονομίας τὸ ὄντως μέγα Μυστήριον, χάριν ἐξεπλήρωσας, ὢ Ἰησοῦ Ἀγαθέ, καὶ τιμὴ ἐξηγόρασας τὸν σύμπαντα Κόσμον, Αἵματος τιμίου Σου, Χριστὲ γλυκύτατε, ὅθεν σου δεόμεθα πίστει, στήριξον ἡμᾶς Ἰησοῦ μου, ἐν ταὶς ἐντολαίς σου, Ὑπεράγαθε.

Ἦχος πλ. δ΄. Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδία, Ἰησοῦ ἡ κάθαρσις, τοῦ νοός μου Δέσποτα πολυέλεε, Ἰησοῦ σῶσον μέ, Ἰησοῦ σωτήρ μου, Ἰησοῦ μου παντοδύναμε, μὴ καταλίπης μέ, σῶτερ Ἰησοῦ μου παντοδύναμε, μὴ καταλίπης μέ, σῶτερ Ἰησοῦ μὲ ἐλέησον, καὶ λύτρωσαι κολάσεως, πάσης Ἰησοῦ καὶ ἀξίωσον, τῆς τῶν σωζομένων, μερίδος Ἰησοῦ καὶ τῷ χορῷ, τῶν ἐκλεκτῶν σου μὲ σύναξον, Ἰησοῦ φιλάνθρωπε.

Ἰησοῦ γλυκύτατε, τῶν Ἀποστόλων ἡ δόξα, Ἰησοῦ μου καύχημα, τῶν μαρτύρων Δέσποτα παντοδύναμε, Ἰησοῦ σῶσον μέ, Ἰησοῦ σωτήρ μου, Ἰησοῦ μου ὡραιότατε, τὸν σοὶ προστρέχοντα, σῶτερ Ἰησοῦ μου ἐλέησον, πρεσβείαις τῆς τεκούσης σέ, πάντων Ἰησοῦ τῶν Ἁγίων σου, προφητῶν τὲ πάντων, σωτήρ μου Ἰησοῦ καὶ τῆς τρυφῆς, τοῦ παραδείσου ἀξίωσον, Ἰησοῦ πανάγαθε.

Δόξα...

Ἰησοῦ γλυκύτατε, τῶν μοναζόντων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, ἀσκητῶν ἐντρύφημα καὶ καλλόπισμα. Ἰησοῦ σῶσον μέ, Ἰησοῦ σωτήρ μου, σῶτερ Ἰησοῦ μου τοῦ δράκοντος, καὶ τούτου τῶν παγίδων μέ, σῶτερ Ἰησοῦ ἐλευθέρωσον, λάκκου κατωτάτου, σωτήρ μου Ἰησοῦ ἀναγαγών, καὶ δεξιοὶς συναρίθμησον, Ἰησοῦ προβάτοις μέ.

Καὶ νῦν...

Μὴ καταπιστεύσης μέ, ἀνθρωπίνη προστασία, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου. Θλίψις γὰρ ἔχει μέ, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα. Σκέπην οὐ κέκτημαι, οὐδὲ ποὺ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου. Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδης τὴν δέησιν. Τὸ συμφέρον ποίησον.

Ἱερεὺς: Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν